UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

Eusebius <Caesariensis>

Mogvntiae, 1672

XIX. Quòd haec de Christo vaticinatio à nemine Christianorum conficta est, sed ab Erythraea Sibylla conscripta, cujus libros Cicero ante adventum Christi latinis versibus reddidit: & quòd Virgilius ...

urn:nbn:de:hbz:466:1-14478

Visual Library

A

Κεφ. ΙΘ΄.

Ὅτι ἡ δὲ τοῦ σωτῆρος μαντεία παρ' οὐδενὸς τῶν τῆς ἐκκλησίας πέπλασται, ἀλλὰ τῆς Ἐρυθραίας Σιβύλλης, ἧς τινος τὰς βίβλους Κικέρων ὁ ποιητὴς πρὸ τῆς ἐπιδημίας τοῦ Χριστοῦ ῥωμαϊστὶ μετέφρασε· καὶ ὅτι Βιργίλιος μέμνηται αὐτῆς, καὶ τοῦ παρθενικοῦ τόκου δι' αἰνιγμάτων, φόβῳ τῶν κρατούντων, ὑμνήσας τὸ μυστήριον.

Ἀλλ' οἱ πολλοὶ τῶν ἀνθρώπων ἀπιστοῦσι, καίτοι ταῦθ' ὁμολογοῦντες Ἐρυθραίαν γεγενῆσθαι Σίβυλλαν μάντιν. ὑποπτεύουσι δέ τινα τῶν τῆς ἡμετέρας θρησκείας, ποιητικῆς μούσης οὐκ ἄμοιρον, τὰ ἔπη ταῦτα πεποιηκέναι, νοθεύεσθαί τε αὐτά, καὶ Σιβύλλης θεσπίσματα εἶναι λέγεσθαι, ἔχοντα βιωφελεῖς γνώμας, τὴν πολλὴν τῶν ἡδονῶν περικόπτουσας ἐξουσίαν, καὶ ἐπὶ τὸν σώφρονά τε καὶ κόσμιον βίον ὁδηγοῦσας. ἐν προφανεῖ δ' ἀλήθεια, τῆς τῶν ἡμετέρων ἀνδρῶν ἐπιμελείας συλλεξάσης τοὺς χρόνους ἀκριβέστερον. ὡς πρὸς τὸ μηδένα ὑποτοπάζειν, μετὰ τὴν τοῦ Χριστοῦ κάθοδον καὶ κρίσιν γεγενῆσθαι τὸ ποίημα, καὶ ὡς πάλαι προλεχθέντων ὑπὸ Σιβύλλης τῶν ἐπῶν ψεῦδος διαφημίζεσθαι. ὡμολόγηται γὰρ Κικέρωνα ἐντετυχηκότα τῷ ποιήματι, μετενεγκεῖν τε αὐτὸ εἰς τὴν Ῥωμαίων διάλεκτον, καὶ συντάξαι αὐτὸ τοῖς ἑαυτοῦ συντάγμασι. τοῦτον ἀναιρεῖσθαι κρατήσαντος Ἀντωνίου. Ἀντωνίου δ' αὖ πάλιν Αὔγουστον περιγεγενῆσθαι, ὃς ἓξ καὶ πεντήκοντα ἔτη ἐβασίλευσε. τοῦτον Τιβέριος διεδέξατο· καθ' ὃν χρόνον ἡ τοῦ σωτῆρος ἐξέλαμψε παρουσία, καὶ τὸ τῆς ἁγιωτάτης θρησκείας ἐπεκράτησε μυστήριον, ἥ τε νέα τοῦ δήμου διαδοχὴ συνέστη· περὶ ἧς οἶμαι λέγειν τὸν ἐξοχώτατον τῶν κατὰ τὴν Ἰταλίαν ποιητῶν.

Ἔνθεν ἔπειτα νέων πληθὺς ἀνδρῶν ἐφαάνθη.

καὶ πάλιν ἐν ἑτέρῳ τινὶ τῶν βουκολικῶν τόπῳ.

Σικελίδες μοῦσαι, μεγάλην φάτιν ὑμνίσωμεν.

τί τούτου φανερώτερον; προστίθησι γάρ·

Ἤλυθε Κυμαίου μαντεύματος εἰς τέλος ὀμφή·

Κυμαίαν αἰνιττόμενος δηλαδὴ τὴν Σίβυλλαν. καὶ οὐκ ἠρκέσθη τούτοις· ἀλλὰ περαιτέρω προεχώρησεν, ὡς τῆς χρείας τὴν αὐτοῦ μαρτυρίαν ἐπιποθούσης. τί λέγων αὖθις;

Οὗτος ἄρ' αἰώνων ἱερὸς στίχος ὤρνυται ἡμῖν·
Ἥκει παρθένος αὖθις, ἄγουσ' ἐρατὸν βασιλῆα.

τίς οὖν ἄρα εἴη παρθένος ἡ ἐπανήκουσα; ἆρ' οὐχ ἡ πλήρης τε καὶ ἔγκυος γενομένη τοῦ θείου πνεύματος; καὶ τί τὸ κωλῦον τὴν ἔγκυον τοῦ θείου πνεύματος, κόρην εἶναι ἀεὶ καὶ διαμένειν παρθένον; ἐπανήξει δὲ ἐκ δευτέρου, (καὶ) τὴν οἰκουμένην προσαγαγόμενος ἐπικουφιεῖ. καὶ προστίθησιν ὁ ποιητής.

Caput XIX.

Quòd hæc de Christo vaticinatio à nemine Christianorum conficta eſt, ſed ab Erythræa Sibylla conſcripta: cujus libros Cicero ante adventum Chriſti Latinis verſibus reddidit: & quòd Virgilius ejus mentionem facit, ſimulque partus Virginei: obſcurè celebrans myſterium metu potentiorum.

Multi tamen huic prædictioni fidẽ derogant, quamvis Sibyllam Erythręam revera vatẽ fuiſſe fateantur. Suſpicantur autem à quodam ex noſtrę religionis hominibus, Poëticæ artis non ignaro, eos verſus eſſe confictos, & falſo ac ſuppoſiticio titulo Sibyllæ adſcribi; cùm ſententias contineant vitæ humanę admodum utiles, quibus & voluptatum
B effrenata licentia comprimitur, & via ſternitur ad modeſtiam ac tẽperantiam. Sed veritas ipſa in propatulo eſt omnibus; cùm hominũ noſtrorũ diligentia temporũ ſeriem adeò accuratè collegerit, ut jã nemo ſuſpicari poſſit, poſt adventum & condemnationem Chriſti, carmẽ illud eſſe compoſitum, falſoq́; divulgari, quaſi Sibylla hos verſus diu antè vaticinando profuderit. Quippe inter omnes cõſtat, Ciceronem cùm hoc carmẽ legiſſet, Latino ſermone illud interpretatum eſſe, ac ſuis operib⁹ inſeruiſſe. Hunc poſtea Antonius ſummâ rerũ po-
C titus interfecit. Antonius verò poſthæc ſuperatus eſt ab Auguſto, qui ſex & quinquaginta annis Imperiũ obtinuit. Huic deinde ſucceſſit Tiberius: quo tempore Servatoris adventus orbi illuxit, & ſanctiſſimæ religionis myſteriũ vigere cœpit, & nova quædam populi ſetura ac ſucceſſio inſtituta eſt: de qua Princeps Latinorum Poëtarum ſenſiſſe mihi videtur cùm dicit:

Iam nova progenies cælo demittitur alto.

Et rurſus in alio Bucolicorum loco:

Sicelides muſæ, paulò majora canamus.

Quid hoc apertius? Addit enim:

D *Vltima Cumæi venit jam carminis ætas.*

Cumæam ſcilicet Sibyllam intelligens. Nec his contentus, ulterius progreſſus eſt: quaſi neceſſitas ipſa teſtimonium ejus requireret. Quid igitur dicit?

Magnus ab integro ſæclorũ naſcitur ordo:
Iã redit & virgo: redeunt Saturnia regna.

Quænam ergo eſt virgo illa quæ redit? Nonne illa quę plena & gravida fuit Spiritu Sancto? Quid autem obſtat, quominus ea quæ Spiritu divino prægnans eſt, puella ſemper & virgo permaneat. Redibit etiam optabilis Rex, & orbem terrarum adventu ſuo ſublevabit. Sic enim addit Poëta:

Tu modo naſcenti puero, quo ferrea primum
Deſinet, ac toto ſurget gens aurea mundo,
Caſta fave Lucina. (*noſtri,*
Hoc duce, ſi qua manent ſceleris veſtigia
Irrita perpetuâ ſolvent formidine terras.

Quæ quidē aperte ſimul & obſcure per allegoriam dicta eſſe intelligimus. Nam iis quidem qui verſuū vim ac ſententiam altius ſcrutantur, divinitatem Chriſti oculis quodammodo ſubjiciūt. Ne verò quiſquam ex regiæ urbis Primoribus, Poetam criminari poſſet quòd contra patrias leges ſcribere eſſet auſus, & traditas olim à majoribus de Diis opiniones everteret, veritatē de induſtria occultat. Notat enim, ut equidem cenſeo, beatum & ſalutare Servatoris noſtri myſteriū. Itaq; ut immanē hominū crudelitatem evitaret, audientium animos ad inolitam ipſis conſuetudinē deduxit; aitq; recens nato altaria ac templa eſſe exſtruenda, & ſacra facienda. Cetera quoq; conſentanea ſubjunxit; in gratiam eorum qui ita ſentirent. ait enim:

Caput XX.

Alii verſus Virgilii Maronis de Chriſto, eorumque interpretatio: in quibus oſtenditur, obſcurè, ut Poetis moris eſt, indicatum eſſe myſterium.

Ille Deûm vitam accipiet, Diviſque videbit
Permiſtos heroas, & ipſe videbitur illis:

Juſtis ſcilicet.

Pacatumq; reget patriis virtutibus orbē.
At tibi prima puer nullo munuſcula cultu
Errantes hederas paſſim cum baccare tellus,
Miſtaq; ridenti colocaſia fundet acantho.

Vir porro admirabilis & omni doctrinæ genere excultus, cum cognitam haberet illorum temporum crudelitatem: hæc addidit:

Ipſæ lacte domum referent diſtenta capellæ
Vbera: nec magnos metuent armenta (*leones.*

Vera utique dicens. Neque enim palatii Proceres formidatura erat fides.

Ipſa tibi blandos fundent cunabula flores.
Occidet & ſerpens, & fallax herba veneni
Occidet; Aſſyrium vulgò naſcetur amo- (*mum.*

Quibus nihil verius, nihil Servatoris virtuti convenientius dici poteſt. Ipſa enim Dei cunabula, divini Spiritus vis tanquam flagrantiſſimos quoſdam flores novellæ obtulit genti. Occidit verò ſerpens, & venenum ſerpentis ſublatum eſt: ejus ſcilicet ſerpentis qui primos homines in fraudem primus in-

A Τὸν δὲ νεωστὶ πω τεχθέντα φαεσφόρε μήνη,
Ἀντὶ σιδηρείης χρυσῆν γενεὴν ὀπάσαντα,
Προσκύνει.

Τοῦδε γὰρ ἄρχοντος, μιαρὸς κακὰ πάντα βροτοῖσι
Καὶ στοναχαί τε κατευνάζονται ἀλιτρῶν.

Συνίεμεν δὴ φανερῶς τε ἅμα καὶ ἀποκρύφως δι' ἀλληγοριῶν τὰ λεχθέντα· τοῖς μὲν βαθύτερον ἐξετάζουσι τὴν τῶν ἐπῶν δύναμιν, ὑπ' ὄψιν τοῦ Χριστοῦ θεότητος· ὅπως δὲ μή τις τῶν δυναστευόντων ἐν τῇ βασιλευούσῃ πόλει, ἐγκαλεῖν ἔχοι τῷ ποιητῇ, ὡς παρὰ τοὺς πατρῴους νόμους συγγράφοντι, B ἐκβάλλοντί τε τὰ πάλαι ὑπὸ τῶν προγόνων περὶ τῶν θεῶν νομιζόμενα, ἐπικαλύπτεται τὴν ἀλήθειαν. ἠπίστατο γὰρ, οἶμαι, τὴν μακαρίαν καὶ ἐπώνυμον τοῦ Σωτῆρος τελετὴν· ἵνα δὲ τὸ ἀγριον τῆς ὠμότητος ἐκκλίνοι, ἦγαγε τὰς διανοίας τῶν ἀκουόντων, πρὸς τὴν ἑαυτῶν συνήθειαν. καὶ φησὶ χρῆναι βωμοὺς ἱδρύσασθαι καὶ νεὼς κατασκευάζειν, θυσίας τε ἐπιτελεῖσθαι τῷ νεωστὶ τεχθέντι. ἀκολούθως δὲ καὶ τὰ λοιπὰ ἐπήγαγε τοῖς φρονοῦσι. φησὶ γάρ·

Κεφ. Κ'.

Βεργιλίου Μάρωνος ἕτερα περὶ Χριστοῦ ἔπη, καὶ ἡ τούτων ἑρμηνεία, ἐφ' οἷς δείκνυται δι' αἰνιγμάτων, ὡς ποιηταῖς ἔθος, μηνυθὲν τὸ μυστήριον.

C Λήψεται ἀφθάρτοιο Θεοῦ βίοτον, καὶ ἀθρήσει
Ἥρωας σὺν ἐκείνῳ ἀολλέας· ἠδὲ καὶ αὐτὸς,

δηλαδὴ τοὺς δικαίους.

Πατρίδι καὶ μακάρεσσιν ἐλεδομένοισι φανεῖται
Πατρόθεν ὃς ἀρετῇ κυβερνῶν ἡνία κόσμου.
Σοὶ δ' ἄρα παῖ, πρώτιστα φύει δωρήματα γαῖα
Κριθὴν ἠδὲ κύπειρον ὁμοῦ κολακασσί' ἀκάνθῳ.

Θαυμαστὸς ἀνὴρ καὶ πάσῃ παιδείᾳ κεκοσμημένος. ὃς ἀκριβῶς ἐπιστάμενος τὴν τῶν τότε καιρῶν ὠμότητα.

D Σοὶ δὲ παῖς θαλερῷ, φησὶ, μαζοὶ κατὰ δέξια
Αὐτόματοι γλυκὺ νᾶμα συνεκτελέουσι γάλακτος.
Οὐδὲ θέμις ταρβεῖν ἐλοσυροὺς αἰθέλησι λέοντας·

ἀληθῆ λέγων· ἡ γὰρ πίστις, τῆς βασιλικῆς αὐλῆς τοὺς δυνάστας οὐ φοβηθήσεται.

Φύσει δ' εὐώδη τὰ σπάργανα, ἄνθεα αὐτά
Ὄλλυται ἰοβόλου φύσις ἑρπετοῦ, ὄλλυται ποία
Λοίγιος. Ἀσσύριον θάλλει κατὰ τέμπεα ἄμωμον.

Τούτων οὐδὲν ἀληθέστερον, οὐδὲ τῆς τοῦ Σωτῆρος ἀρετῆς οἰκειότερον εἴποι τις ἄν· αὐτὰ γὰρ τὰ τοῦ Θεοῦ σπάργανα πνεύματος ἁγίου δύναμις, εὐώδη τινὰ ἄνθη, νεολαία ὑπάσε γένεα. ὁ δὲ ὄφις ἀπόλλυται, καὶ ὁ ἰὸς τοῦ ὄφεως ἐκείνου, ὃς τοὺς πρωτοπλάστους πρῶτος